2 νην ἀγαθήν· [2]καὶ ἀγαθοποιήσαι ὑμῖν ὁ θεὸς καὶ μνησθείη τῆς
διαθήκης αὐτοῦ τῆς πρὸς Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ τῶν δού-
3 λων αὐτοῦ τῶν πιστῶν· [3]καὶ δῴη ὑμῖν καρδίαν πᾶσιν εἰς τὸ
σέβεσθαι αὐτὸν καὶ ποιεῖν αὐτοῦ τὰ θελήματα καρδίᾳ μεγάλῃ καὶ
4 ψυχῇ βουλομένῃ· [4]καὶ διανοίξαι τὴν καρδίαν ὑμῶν ἐν τῷ νόμῳ
5 αὐτοῦ καὶ ἐν τοῖς προστάγμασιν καὶ εἰρήνην ποιήσαι [5]καὶ ἐπακού-
σαι ὑμῶν τῶν δεήσεων καὶ καταλλαγείη ὑμῖν καὶ μὴ ὑμᾶς ἐγκατα-
6 λίποι ἐν καιρῷ πονηρῷ. [6]καὶ νῦν ὧδέ ἐσμεν προσευχόμενοι περὶ
7 ὑμῶν. [7]βασιλεύοντος Δημητρίου ἔτους ἑκατοστοῦ ἑξηκοστοῦ ἐνάτου
ἡμεῖς οἱ Ιουδαῖοι γεγράφαμεν ὑμῖν ἐν τῇ θλίψει καὶ ἐν τῇ ἀκμῇ
τῇ ἐπελθούσῃ ἡμῖν ἐν τοῖς ἔτεσιν τούτοις ἀφ' οὗ ἀπέστη Ἰάσων
8 καὶ οἱ μετ' αὐτοῦ ἀπὸ τῆς ἁγίας γῆς καὶ τῆς βασιλείας [8]καὶ ἐν-
επύρισαν τὸν πυλῶνα καὶ ἐξέχεαν αἷμα ἀθῷον· καὶ ἐδεήθημεν τοῦ
κυρίου καὶ εἰσηκούσθημεν καὶ προσηνέγκαμεν θυσίαν καὶ σεμίδαλιν
9 καὶ ἐξήψαμεν τοὺς λύχνους καὶ προεθήκαμεν τοὺς ἄρτους. [9]καὶ
νῦν ἵνα ἄγητε τὰς ἡμέρας τῆς σκηνοπηγίας τοῦ Χασελευ μηνός.
ἔτους ἑκατοστοῦ ὀγδοηκοστοῦ καὶ ὀγδόου.
10 [10]Οἱ ἐν Ιεροσολύμοις καὶ οἱ ἐν τῇ Ιουδαίᾳ καὶ ἡ γερουσία καὶ
Ιουδας Ἀριστοβούλῳ διδασκάλῳ Πτολεμαίου τοῦ βασιλέως, ὄντι
δὲ ἀπὸ τοῦ τῶν χριστῶν ἱερέων γένους, καὶ τοῖς ἐν Αἰγύπτῳ Ιου-
11 δαίοις χαίρειν καὶ ὑγιαίνειν. [11]ἐκ μεγάλων κινδύνων ὑπὸ τοῦ θεοῦ
σεσῳσμένοι μεγάλως εὐχαριστοῦμεν αὐτῷ ὡς ἂν πρὸς βασιλέα
12 παρατασσόμενοι· [12]αὐτὸς γὰρ ἐξέβρασεν τοὺς παραταξαμένους ἐν
13 τῇ ἁγίᾳ πόλει. [13]εἰς τὴν Περσίδα γενόμενος γὰρ ὁ ἡγεμὼν καὶ ἡ
περὶ αὐτὸν ἀνυπόστατος δοκοῦσα εἶναι δύναμις κατεκόπησαν ἐν
τῷ τῆς Ναναίας ἱερῷ, παραλογισμῷ χρησαμένων τῶν περὶ τὴν
14 Ναναίαν ἱερέων. [14]ὡς γὰρ συνοικήσων αὐτῇ παρεγένετο εἰς τὸν
τόπον ὅ τε Ἀντίοχος καὶ οἱ σὺν αὐτῷ φίλοι χάριν τοῦ λαβεῖν τὰ
15 χρήματα πλείονα εἰς φερνῆς λόγον [15]καὶ προθέντων αὐτὰ τῶν ἱε-
ρέων τοῦ Ναναίου κἀκείνου προσελθόντος μετ' ὀλίγων εἰς τὸν πε-
ρίβολον τοῦ τεμένους, συγκλείσαντες τὸ ἱερόν, ὡς εἰσῆλθεν Ἀντίο-
16 χος, [16]ἀνοίξαντες τὴν τοῦ φατνώματος κρυπτὴν θύραν βάλλοντες
πέτρους συνεκεραύνωσαν τὸν ἡγεμόνα καὶ μέλη ποιήσαντες καὶ
17 τὰς κεφαλὰς ἀφελόντες τοῖς ἔξω παρέρριψαν. [17]κατὰ πάντα εὐλο-
18 γητὸς ἡμῶν ὁ θεός, ὃς παρέδωκεν τοὺς ἀσεβήσαντας. [18]μέλλοντες
ἄγειν ἐν τῷ Χασελευ πέμπτῃ καὶ εἰκάδι τὸν καθαρισμὸν τοῦ ἱεροῦ

**1** 2 μνησθειη] -θηναι A† || 7 γεγραφαμεν A] -φηκαμεν al.: cf. Thack. p. 263 | και ult. > A*† || 8 και $5^0$ > A† | εξηψαμεν] εξηγαγεν A† || 9 εκατοστου > A† || 10 οι $1^0$ > A pau. || 12 παραταξαμενους] -τασσομ- A || 13 των] ν > A† || 14 συνοικησων] -κων A† || 15 τεμενους] ς > A†: ante σ, cf. Thack. p. 160 || 16 αφελοντες > A† | fin. παραριψαντες A† || 17 παρεδωκεν *L*] παρ > A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1152 UNIVERSITÄT LEIPZIG